Δ? 179 Δεκάσκαλμος ναῦς.

Δ 180 Δεκαταῖος: δέκατος.

Δ 181 Δεκατεύειν: δεκάτην δοῦναι. E ἐφ' οἷς οἱ Ἕλληνες ὤμοσαν, εἰ νικήσειαν, στρατεύσειν καὶ δεκατεύσειν ἅπαντας τῷ Πυθίῳ. Ar. ἐς δεκάτην παιδαρίου κληθεὶς ὑπέπινον ἐν ἄστει. τὴν δεκάτην γὰρ εἱστίων ἐπὶ τοῖς τικτομένοις, καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισίν. Εὐριπίδης Αἰγεῖ· τίς σε μᾶτερ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν; ὁ δὲ Ἀριστοτέλης ἐν ταῖς ζ' φησὶν ἐπιτίθεσθαι τὰ ὀνόματα, γράφων οὕτως· πλεῖστα δὲ ἀναιρεῖται πρὸς τὴν ζ', διὸ καὶ τὰ ὀνόματα τότε τίθενται.

Harp. 182 Δεκατεύειν: ἀντὶ τοῦ δεκάτην εἰσπράττεσθαι καὶ λαφυραγωγεῖν. τὰ δ' ἐκ τῶν πολεμίων ληφθέντα ἐδεκατεύοντο θεοῖς, διὸ κυρίως δεκατεῦσαι τὸ καθιερῶσαι, κατὰ μεταφορὰν δὲ καὶ τὸ δεκάτην ὁπωσοῦν λαβεῖν καὶ ἀπαιτῆσαι.

Harp. 183 Δεκατευτάς: τοὺς τελώνας τοὺς τὴν δεκάτην ἐκλέγοντας καὶ συλλέγοντας. οὕτως Ἀντιφῶν. καὶ Δεκατηλόγοι, οἱ αὐτοί. Σ εἴρηται δὲ καὶ θηλυκῶς τὴν Δεκατηλόγον.

E 184 Δεκατευτήριον: τὸ ἐν τῇ Ἀβύδῳ πορθμεῖον. ὡς εὐθὺς τὴν Ἄβυδον λυμανεῖται καὶ τὸ ἐν αὐτῇ δεκατευτήριον.

Harp. 185 Δεκατηλόγους: τοὺς τὴν δεκάτην ἐκλέγοντας. ταυτὸν ἄρα τοῖς δεκατευταῖς.

Σ 186 Δεκάτην ἑστιάσαι: ἔθος ἦν παίδων γεννωμένων τοῖς Ἀθηναίοις ἀστοῖς, τῇ ι' τῶν νυκτῶν ἀπὸ τῆς γενέσεως συγκαλεῖσθαι τοὺς πρὸς πατρὸς καὶ μητρὸς οἰκείους καὶ τοὺς ἐγγυτάτω φίλους, καὶ παρόντων ἐκείνων τά τε ὀνόματα τοῖς παισὶ τίθεσθαι καὶ καλλιερεῖσθαι τοῖς θεοῖς· ἔπειτα εὐωχεῖσθαι τοὺς συνεληλυθότας. καὶ τοῦτό ἐστιν ἡ δεκάτη. Δ καὶ Δεκατῶ ῥῆμα. ὡς τὸ, ὁ λαμβάνων δεκάτας δεδεκάτωται. τῆς τῶν Συρακουσίων δεκάτης πολὺ προτιμώτερόν σε ποιούμενος.

Σ 187 Δεκασμός: δωροδοκία.

Δ 188 Δεκάχοια: δεκαπλάσια.

EV 189 Δεκέβαλος: ὁ τῶν Δακῶν βασιλεύς. Ζήτει ἐν τῷ δεινός.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413864820/24 UNIVERSITÄT LEIPZIG